## ΕΠΙΣΤΟΛΗ Ε′ (Η′)

**1. a.** Οὐκ ἔμελλον ἄρα οὐδὲ τῆς πόλεως ἀναχωρήσας ἀπαλλάττεσθαι τῶν συντριβόντων ἡμῶν τὴν διάνοιαν. Οἱ γὰρ κατὰ τὴν ὁδὸν ἡμῖν ἀπαντῶντες, οἱ μὲν ἐξ ἀνατολῆς, οἱ δὲ ἐξ Ἀρμενίας, οἱ δὲ καὶ ἀλλαχόθεν τῆς οἰκουμένης, πηγὰς ἀφιᾶσι δακρύων ἡμᾶς βλέποντες καὶ κωκυτοὺς προστιθέασι καὶ δι' ὀδυρμῶν πᾶσαν παραπέμπονται τὴν ὁδόν. Ταῦτα δὲ εἴρηκα, ἵνα μάθητε ὅτι πολλοὺς ἔχω συναλγοῦντας ἡμῖν· οὐ μικρὸν δὲ καὶ τοῦτο εἰς παραμυθίας λόγον. Εἰ γὰρ τὸ ἐναντίον ὡς βαρὺ καὶ ἀφόρητον ὁ προφήτης θρηνεῖ λέγων· « Καὶ ὑπέμεινα συλλυπούμενον καὶ οὐχ ὑπῆρξεν, καὶ παρακαλοῦντας καὶ οὐχ εὗρον[a]. » Εὔδηλον ὅτι τοῦτο πολλὴν φέρει τὴν παραμυθίαν, τὸ κοινωνοὺς ἔχειν τῆς ἀθυμίας τὴν οἰκουμένην ἅπασαν. Εἰ δὲ καὶ ἑτέραν ζητεῖς παραμυθίαν, ἡμεῖς οἱ τὰ τοσαῦτα καὶ τηλικαῦτα παθόντες κακὰ ἐν ὑγιείᾳ, ἐν αδείᾳ διάγομεν, ἐν ἡσυχίᾳ πολλῇ, ἀριθμοῦντες ἡμῶν τὰ παθήματα τὰ ποικίλα καὶ συνεχῆ, τὰς θλίψεις, τὰς ἐπιβουλὰς καὶ τῇ μνήμῃ τούτων ἐντρυφῶντες διηνεκῶς.

**b.** Ταῦτ' οὖν καὶ αὐτὴ λογιζομένη σκέδασον τῆς ἀθυμίας τὸ νέφος καὶ γράφε συνεχῶς ἡμῖν περὶ τῆς ὑγιείας τῆς σῆς. Ἐπεὶ καὶ νῦν τοῦ κυρίου μου τοῦ ποθεινοτάτου Ἀραβίου